διὸ ὅσα ὀνομάζων, ἀχρεῖον ἡγοῦμαι εἶναι, τοῖς τε εὐπαιδεύτοις πεποίηκεν·
οἱ ἰδιῶται μὲν γὰρ τὸ κεκομψευμένον τῆς φράσεως ἰδεῖν οὐκ ἰσχύουσιν·
οἱ δὲ εὐπαίδευτοι, τῆς ταυτολογίας καταγινώσκουσιν· ἀλλ' ἕκαστος μὲν περὶ
τῶν βιβλίων ὡς ἔχει γνώμης κρινέτω· ἐγὼ δὲ ἐκεῖνο φημί, ὅτι τοὺς χρόνους
τῆς ἱστορίας συγχέει· μνημονεύσας γὰρ τῶν τοῦ αὐτοκράτορος Θεοδοσίου
χρόνων, αὖθις ἐπὶ τοὺς Ἀθανασίου τοῦ ἐπισκόπου χρόνους ἀνέδραμε· καὶ τοῦτο
ὡς πλεῖστον ποιεῖ· καὶ τοσαῦτα μὲν περὶ Φιλίππου· ὁ δὲ ἐπίσκοπος Σισίννιος γέρων,
ἅμα καὶ οἰκεῖν· ὡς Πρόκλον Κυζίκου ἐπίσκοπον ὁ Σισίννιος ἐχει- κη

ροτόνησεν· οἱ δὲ Κυζικηνοὶ τοῦτον οὐ προσεδέξαντο:

Τοῦ Κυζικηνῶν ἐπισκόπου τελευτήσαντος, ὁ Σισίννιος Πρόκλον ἐχειρο-
τόνησεν ἐπισκοπεῖν τῆς Κυζίκου· μέλλοντος οὖν διὰ ταύτην ἀπαίρειν,
φθάσαντες οἱ Κυζικηνοὶ καὶ χειροτονοῦσιν ἄνδρα ἀσκητικόν, ὄνομα
ἦν Δαλμάτιος· καὶ τοῦτο ἐποίησαν, ἀμελήσαντες τοῦ νόμου τοῦ κελεύοντος,
παρὰ γνώμην τοῦ ἐπισκόπου Κωνσταντινουπόλεως χειροτονίαν ἐπισκόπου μὴ γί-
νεσθαι· ἠμέλησαν δὲ τοῦ νόμου τούτου, ὡς Ἀττικῷ μόνῳ εἰς πρόσωπον προ-
στεθέντος· ἔμενε μὲν οὖν ὁ Πρόκλος, οἰκείας μὲν ἐκκλησίας μὴ προεστώς·
ἐν δὲ ταῖς ἐκκλησίαις τῆς Κωνσταντινουπόλεως, κατὰ τὰς διδασκαλίας ἀν-
θῶν· ἀλλὰ περὶ μὲν τούτου, κατὰ χώραν ἐροῦμεν· Σισίννιος δὲ οὐδὲ ὅλους
δύο ἐνιαυτοὺς ἐπισκοπήσας ἐτελεύτησεν ἐν ὑπατείᾳ Ἱερίου
καὶ Ἀρδαβουρίου· τῇ εἰκάδι τετάρτῃ τοῦ Δεκεμβρίου μηνός· ἀνὴρ ἐπὶ σωφρο-
σύνῃ μὲν καὶ ὡς ὀρθῶς ἐφίλει πτωχοῖς περιβόητος· τὸ δὲ ἦθος, εὐ-
πρόσιτός τε καὶ ἄπλαστος· καὶ διὰ τοῦτο ἀπραγμονέστερος, διὸ ἐν τοῖς φι-
λοπράγμοσιν, λύπη ἦν· καὶ ἀδρανείας δόξαν ἔλαβε παρ' αὐτοῖς:

ὡς μετὰ τὴν τελευτὴν Σισιννίου, Νεστόριον ἐκ τῆς Ἀντιοχείας μεταπεμψάμενοι, κθ
ἐπίσκοπον Κωνσταντινουπόλεως πεποιήκασιν· οὗ εὐθὺς ἐφωράθη ὁποῖος ἦν:

Μετὰ δὲ τὴν τελευτὴν Σισιννίου, ἐδόκει τοῖς κρατοῦσι, μηδένα μὲν τῶν αὐτόθι διὰ τοὺς
κενοσπουδαστὰς ἐκ τῆς ἐκκλησίας εἰς τὴν ἐπισκοπὴν ἐγχειρίζεσθαι· καί-
τοι, πολλῶν μὲν τὸν Φίλιππον· πολλῶν δὲ τὸν Πρόκλον χειροτονηθῆναι
σπευδόντων· ἐπήλυδα δὲ ἐκ τῆς Ἀντιοχείας καλεῖν ἐβουλεύοντο· ἦν γάρ
τις ἐκεῖ Νεστόριος τοὔνομα· τὸ μὲν γένος, Γερμανικεύς· εὔφωνος δὲ ἄ-
λλως καὶ εὔλαλος· διὸ καὶ ὡς πρὸς ἐπιτήδειον εἰς διδασκαλίαν, ἔγνωσαν
μεταπέμπεσθαι· τριμήνου οὖν διαδραμόντος, ἄγεται ἐκ τῆς Ἀντιοχείας Νε-
στόριος· ὃς τῆς ἐπὶ σωφροσύνῃ μὲν, παρὰ τοῖς πλείστοις ἐκηρύττετο· ὁποῖος